πείαν γήρους τούτους ἀρκεῖν λογισάμενος. πρέπειν γὰρ ἔκρινα παντὶ λο-
γικῷ μὴ εἰς κόρον τῇ ἡδονῇ ἐντρυφᾶν, μηδὲ τῇ ἀδείᾳ τοῦ νόμου κατακεχρῆ-
σθαι πρὸς ὕβριν τῆς φύσεως, παύεσθαι δὲ ταχέως λειτουργήσαντα τῷ σκο-
πῷ τοῦ κτίσαντος, πρὸς αὔξησιν τοῦ γένους, οὐχὶ δὲ πάθους παραμυθίαν
τὸν γάμον οἰκονομήσαντος, ἵνα μὴ μαρανθείσης ὕστερον τῆς δυνάμεως
καὶ τῶν ὀρέξεων σβεσθεισῶν αὐτομάτῳ νηνεμίᾳ τοῦ γήρους, ἡλικίας
ἀνάγκῃ οὐχὶ δὲ προαιρέσεως φιλοτιμίᾳ τὸ τῆς σωφροσύνης ἐπιγράφηται
2 κατόρθωμα. οὔτε γὰρ τρόπαιον ἀπειροπόλεμος ἵστησί ποτε, οὔτε τοῦ ἀγῶ-
νος λυθέντος νίκην οἷός τέ ἐστιν αὐχεῖν ἀθλητής, ἐπεὶ μὴ πέπτωκεν οὐδε-
νὸς προσπαλαίσαντος· σεμνύνει δὲ τὸν ἀγωνιστὴν ἐν ἀκμῇ τῆς νεότητος,
τῆς ἐπιθυμίας φλεγομένης, τῶν παθῶν πιμπραμένων, λογισμὸς κρατῶν
ἐπιθυμίας καὶ τὴν ὄρεξιν ἄγχων ὁρμῶσαν πρὸς γαμικὴν ὁμιλίαν, κἂν νό-
μιμος ᾖ, καὶ τὴν αὐτοκρατορικὴν μαρτυρῶν αὐτῷ ἐξουσίαν. εἷλκε δέ μέ
τις ἐπιθυμία πολλὴ τῶν ἐν οἷς νῦν πεπόρθημαι τόπων, καὶ τῷ λογισμῷ
πρὸς τὴν ἡσυχίαν ἤμην ὅλος ἐπτερωμένος, οὐδὲν ἄλλο νοεῖν ἢ βλέπειν πλὴν
3 τούτου δυνάμενος. ὅταν γὰρ ἔρως οὑτινοσοῦν κατάσχῃ ψυχήν, πάντων
ἀφέλκει βιαίως αὐτὴν καὶ τῶν ἄγαν σπουδαίων, καὶ φέρει πρὸς τὸ ποθού-
μενον οὐκ ἀνανεύουσαν, οὐ πόνον οὐ κάματον οὐχ ὕβριν λογιζομένην. πάν-
τα γὰρ δουλεύει προθύμως τῇ ἐπιθυμίᾳ, ἑκουσίως τυραννούμενα καὶ τὸν
ζυγὸν τῆς ὑποταγῆς ἀσμενίζοντα, ἐθελουσίῳ καὶ αὐτοκελεύστῳ ἀνάγκῃ.
4 Ἐπεὶ οὖν ἐπέταττεν αὕτη τὴν ἀποδημίαν καὶ οὐκ ἦν ἀντειπεῖν οὕτως κε-
λευούσῃ τυραννικῶς, λαβόμενος τῶν παίδων — ἔτι δὲ ἦσαν νήπιοι κομι-
δῇ — προσάγω τῇ μητρί, καὶ τὸν μὲν ἐπιδίδωμι αὐτῇ, τὸν δὲ κατέχω
παρ᾽ ἐμαυτῷ· καὶ τὸ δόξαν εἶπον καὶ ὡς οὐ μεταπεισθήσομαι διεβεβαιωσά-
μην ἐμβριθῶς. ἡ δέ, καὶ πρότερον οὐκ ἀντιλέγειν πεπαιδευμένη, καὶ τότε
τὸ πρόσωπόν μου ἀλλοτρίως πρὸς παράκλησιν ἔχον ὁρῶσα, καίτοι τὴν



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408081708/12 UNIVERSITÄT LEIPZIG